[1]Καὶ ἐλάλησεν Κορε υἱὸς Ισσααρ υἱοῦ Κααθ υἱοῦ Λευι καὶ Δα- 16
θαν καὶ Αβιρων υἱοὶ Ελιαβ καὶ Αυν υἱὸς Φαλεθ υἱοῦ Ρουβην [2]καὶ 2
ἀνέστησαν ἔναντι Μωυσῆ, καὶ ἄνδρες τῶν υἱῶν Ισραηλ πεντήκοντα
καὶ διακόσιοι, ἀρχηγοὶ συναγωγῆς, σύγκλητοι βουλῆς καὶ ἄνδρες
ὀνομαστοί, [3]συνέστησαν ἐπὶ Μωυσῆν καὶ Ααρων καὶ εἶπαν Ἐχέτω 3
ὑμῖν, ὅτι πᾶσα ἡ συναγωγὴ πάντες ἅγιοι καὶ ἐν αὐτοῖς κύριος, καὶ
διὰ τί κατανίστασθε ἐπὶ τὴν συναγωγὴν κυρίου; [4]καὶ ἀκούσας 4
Μωυσῆς ἔπεσεν ἐπὶ πρόσωπον [5]καὶ ἐλάλησεν πρὸς Κορε καὶ πρὸς 5
πᾶσαν αὐτοῦ τὴν συναγωγὴν λέγων Ἐπέσκεπται καὶ ἔγνω ὁ θεὸς
τοὺς ὄντας αὐτοῦ καὶ τοὺς ἁγίους καὶ προσηγάγετο πρὸς ἑαυτόν,
καὶ οὓς ἐξελέξατο ἑαυτῷ, προσηγάγετο πρὸς ἑαυτόν. [6]τοῦτο ποιή- 6
σατε· λάβετε ὑμῖν αὐτοῖς πυρεῖα, Κορε καὶ πᾶσα ἡ συναγωγὴ αὐ-
τοῦ, [7]καὶ ἐπίθετε ἐπ᾽ αὐτὰ πῦρ καὶ ἐπίθετε ἐπ᾽ αὐτὰ θυμίαμα ἔναντι 7
κυρίου αὔριον, καὶ ἔσται ὁ ἀνήρ, ὃν ἂν ἐκλέξηται κύριος, οὗτος
ἅγιος· ἱκανούσθω ὑμῖν, υἱοὶ Λευι. [8]καὶ εἶπεν Μωυσῆς πρὸς Κορε 8
Εἰσακούσατέ μου, υἱοὶ Λευι. [9]μὴ μικρόν ἐστιν τοῦτο ὑμῖν ὅτι διέ- 9
στειλεν ὁ θεὸς Ισραηλ ὑμᾶς ἐκ συναγωγῆς Ισραηλ καὶ προσηγά-
γετο ὑμᾶς πρὸς ἑαυτὸν λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς
κυρίου καὶ παρίστασθαι ἔναντι τῆς συναγωγῆς λατρεύειν αὐτοῖς;
[10]καὶ προσηγάγετό σε καὶ πάντας τοὺς ἀδελφούς σου υἱοὺς Λευι 10
μετὰ σοῦ, καὶ ζητεῖτε ἱερατεύειν; [11]οὕτως σὺ καὶ πᾶσα ἡ συνα- 11
γωγή σου ἡ συνηθροισμένη πρὸς τὸν θεόν· καὶ Ααρων τίς ἐστιν
ὅτι διαγογγύζετε κατ᾽ αὐτοῦ; [12]καὶ ἀπέστειλεν Μωυσῆς καλέσαι 12
Δαθαν καὶ Αβιρων υἱοὺς Ελιαβ. καὶ εἶπαν Οὐκ ἀναβαίνομεν· [13]μὴ 13
μικρὸν τοῦτο ὅτι ἀνήγαγες ἡμᾶς ἐκ γῆς ῥεούσης γάλα καὶ μέλι
ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι κατάρχεις ἡμῶν ἄρχων; [14]εἰ καὶ 14
εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι εἰσήγαγες ἡμᾶς καὶ ἔδωκας ἡμῖν
κλῆρον ἀγροῦ καὶ ἀμπελῶνας, τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων
ἐκείνων ἂν ἐξέκοψας. οὐκ ἀναβαίνομεν. [15]καὶ ἐβαρυθύμησεν Μωυ- 15
σῆς σφόδρα καὶ εἶπεν πρὸς κύριον Μὴ προσχῇς εἰς τὴν θυσίαν
αὐτῶν· οὐκ ἐπιθύμημα οὐδενὸς αὐτῶν εἴληφα οὐδὲ ἐκάκωσα οὐ-
δένα αὐτῶν. [16]καὶ εἶπεν Μωυσῆς πρὸς Κορε Ἁγίασον τὴν συνα- 16
γωγήν σου καὶ γίνεσθε ἕτοιμοι ἔναντι κυρίου σὺ καὶ αὐτοὶ καὶ
Ααρων αὔριον· [17]καὶ λάβετε ἕκαστος τὸ πυρεῖον αὐτοῦ καὶ ἐπι- 17
θήσετε ἐπ᾽ αὐτὰ θυμίαμα καὶ προσάξετε ἔναντι κυρίου ἕκαστος τὸ
πυρεῖον αὐτοῦ, πεντήκοντα καὶ διακόσια πυρεῖα, καὶ σὺ καὶ Ααρων

16 1 αυν B† ] αυναν A || 3 επι μωυσην] οπισω μωυση B*† | ειπαν] + προς αυτους A || 5 και paenult. > A | εξελεξατο] pr. ουκ A | προσηγ. ult.] pr. ου A || 6 αυτοις] εαυ. A || 7 και 1⁰ ⌒ 2⁰ B*† | αν εκλεξηται] εκλεγεται B*†, εκλελεκται Bc† || 9 ο θεος ισρ. / υμας] tr. A | συναγωγης ult.] σκηνης B || 10 ιερατευειν] pr. και B, pr. ※ και γε *O*† || 11 τις] τι A || 13 εκ γης ρεουσης V] εις γην -σαν BA: ex 14 || 14 και 1⁰] + συ A | κληρον] καιρον B† || 17 θυμιαματα B*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/295 UNIVERSITÄT LEIPZIG